τῶν καταψεύδονται. ἐπειδ' ὅτι πολλάκις τοῖς βασανίζουσιν ὁμολογοῦσιν οὐ τὰς ἀληθείας, ἵν' ὡς τάχιστα τῶν κακῶν παύσωνται. δεικτέον δ' ὅτι καὶ τῶν ἐλευθέρων πολλοὶ ἤδη βασανιζόμενοι, καθ' ἑαυτῶν ἐψεύσαντο, βουλόμενοι τὴν παραυτίκα κακοπάθειαν ἐκφυγεῖν. ὥστε πολὺ μᾶλλον εὔλογον τοῖς δούλοις ψευσαμένοις κατὰ τῶν δεσποτῶν βούλεσθαι τὴν αὐτῶν τιμωρίαν ἐκφυγεῖν, καὶ πολλὰς κακοπαθείας τοῖς σώμασι καὶ ταῖς ψυχαῖς ὑπομείναντες, ἵν' ἕτεροι μηδὲν πάθωσιν, αὐτοὶ βούλεσθαι μὴ ψεῦδος εἰπεῖν. τὰς μὲν οὖν βασάνους ἐκ τῶν τοιούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων πιθανὰς καὶ ἀπιθάνους καταστήσομεν.

Κεφάλαιον ιη.

ΟΡκος δέ ἐστι μετὰ θείας παραλήψεως φάσις ἀναπόδεικτος, δεῖ δ' αὐτὸν ὅταν μὲν αὔξειν ἐθέλωμεν, λέγειν οὕτως· οὐδεὶς ἂν ἐπιορκεῖν βούλοιτο, φοβούμενος τήν τε παρὰ τῶν θεῶν τιμωρίαν, καὶ τὴν παρὰ τοῖς ἀνθρώποις αἰσχύνην· καὶ διεξιέναι, ὅτι τοὺς μὲν ἀνθρώποις λαθεῖν ἐστι, τοὺς, δὲ θεοὺς οὐκ ἔστιν. ὅταν δὲ οἱ ἐναντίοι καταφύγωσιν εἰς ὅρκον, καὶ βουλώμεθα ἡμεῖς ταπεινοῦν αὐτόν, δεικτέον ὡς τῶν αὐτῶν ἐστιν ἀνθρώπων τὰ πονηρὰ πράττειν καὶ μὴ φροντίζειν ἐπιορκοῦντας. ὅστις γὰρ κακουργῶν, οἴεται λανθάνειν τοὺς θεούς, οὗτος οὐδ' ἐπιορκῶν, τιμωρίας οἴεται τεύξεσθαι. καὶ περὶ μὲν τῶν ὅρκων ὁμοιοτρόπως τοῖς προειρημένοις μετιόντες, λέγειν εὐπορήσομεν ὑπὲρ αὐτῶν. συλλήβδην δὲ τὰς πάσας πίστεις ἤδη, καθάπερ ὑπεθέμεθα, διεξεληλύθαμεν, καὶ δεδώκαμεν, οὐ μόνον ἣν ἑκάστη αὐτῶν δύναμιν ἔσχηκεν, ἀλλὰ καὶ τί ἀλλήλων διαφέρουσι, καὶ πῶς αὐταῖς χρηστέον. νῦν δ' ὑπὲρ τῶν ὑπολοίπων, ἃ τῶν τριῶν εἰδῶν ἐστι, καὶ παρὰ πάντας τοὺς λόγους χρήσιμα γίνεται, διδάσκειν ἐπιχειρήσομεν.

Κεφάλαιον ιθ.

ΠΡοκατάληψις μὲν οὖν ἐστι, δι' ἧς τά τε τῶν ἀκουόντων ἐπιτιμήματο, καὶ τοὺς τῶν ἀντιλέγειν μελλόντων λόγους προκαταλαμβάνοντες, ὑπεξαιρήσομεν τὰς ἐπιφερομένας δυσχερείας. καὶ τὰς μὲν τῶν ἀκουόντων ἐπιτιμήσεις ὧδε χρὴ προκαταλαμβάνειν· ἴσως δέ τινες ἡμῶν θαυμάζουσιν ὅτι νέος ὤν, οὕτω περὶ μεγάλων πραγμάτων ἐπεχείρησα δημηγορεῖν. καὶ πάλιν· μηδεὶς ἀπαντήσῃ μοι δύσκολος, ὅτι μέλλω συμβουλεύειν ὑμῖν, περὶ ὧν ὀκνοῦσί τινες ἄλλοι παρρησιάζεσθαι πρὸς ὑμᾶς. περὶ μὲν

A deinde quòd quęrentibus plerunque non vera confitentur: quò maturiùs doloribus ſeſe eximant. Erit etiam demonſtrandum, nonnullos liberos homines, quò celeriùs ſupplicium effugerent, aduerſum ſemetipſos tormentis affectos ementitos. Quamobrem magis conſentaneum eſſe, ſeruos aduerſus dominos, quò ſuum effugiant cruciatum, ementiri, quàm multos dolores, & corporibus, & animis tolerare,
B quò cæteri nihil mali patiantur, vbi mentiri ipſi voluerint. Quæſtiones igitur ex iis, atque horum ſimilibus probabiles, & improbabiles conſtituemus.

CAPVT. XVIII.

IVſiurandum eſt, cum diuina veneratione dictio probationis expers. Cùm igitur augere ipſum voluerimus, ita dicendum erit: Nemo certè peierare vellet, cùm diuini ſupplicij metu, tum decoris apud
C homines. Eritque ſubdendum, latêre homines poſſe, deos autem non poſſe. Cùm aduerſarij verò ad iuſiurandum confugerint, ſi extenuare id voluerimus, demonſtrandum erit, eorundem eſſe hominum vt malè agant, & peierare nõ curent. Nãm qui facinoroſus deos latêre putat, hic neque peierans ſupplicium ſe ire ſortitum putat. Et iuſiurandum quidem eodem modo, quo etiam reliqua antè dicta tractauimus, planè dicendo nobis ſuppetere.
D Summatim autem omnes probationes, quemadmodum propoſuimus, iam percurrimus, dedimúſque non eam vim ſolùm, quam earum quælibet haberet, verùm etiam quid inter ſe differunt, & quo pacto his vti conueniat, oſtendimus. Nunc autem edocebimus de reliquis partibus, quæ & trium ſpecierum ſunt, & in omnem orationem plurimum decoris, & vtilitatis adferunt.

CAPVT XIX.

E PRæoccupatio igitur eſt, qua & auditorum exiſtimationes, & eorum, qui con tradicturi ſunt, verba præuenientes, obuias difficultates remouebimus. Auditorum autem exiſtimationes hoc ſunt modo præoccupandæ. Admirantur autem aliqui fortaſſe veſtrûm, quòd ipſe iuuenis ita de rebus magnis verba facere aggreſſus fuerim. Et rurſum, Nemo ſeſe mihi difficilem obuiam offerat, quòd de his ſim
F vobis rebus conſultaturus, de quibus alij quidã audacter apud vos eloqui cũctãtur.